ΣΕμνὸς Ἔρως, ὃν ἀειγενέτης θεὸς ἐστὶν ἐγάρων,
ὃν θεὸς αὐτὸς ἔδω ταῖς φρεσί, Σεμνὸς Ἔρως.
τόν, φίλε γαμβρέ, τεοῖς κεδνοῖς στήθεσιν ὀπάζει
Οὐρανοῦ ἐν μεγάρῳ, καὶ χθονὶ Χριστὸς Ἄναξ.
ὥσπερ γὰρ καθαρὸς θεός· οὕτως σεῦ δεήσεις
ἐνδέχεται καθαρὰς, τὰς ἁγίας τε φιλεῖ.
τοὔνεκεν Ὑμενέως πολὺ δὴ πολὺ θυμὸν ἰάνθης,
θήματα καὶ ῥέξας μειλόεντα θεῷ.
τρὶς μάκαρ ἀτρεκέως Νεονύμφιος, ὦ πολύολβος,
τόσσα ἕεδνα γάμου ἱμερόεντος ἄγων.
δῶρα ἔχεις, Ἰάκωβε, ἔχεις περικαλλέα δῶρα,
κρείττονα Πακτωλοῦ, κρείττονα δῶρα Τάγου.
Εὐτυχίαν γαμέεις, καὶ τὴν μέγα κῦδος ἔχουσαν
οἴκαδ' ἐϋκτίμενον πρὸς Νεόπυργον ἄγεις.
Εὐτυχίαν γαμέων, γαμέεις τὰς χεῖρας Ἀθήνης,
Σωφροσύνην Θέμιδος, τῶν χαρίτων τε στόμα.
κάλλος τῆς Κύπριδος, Πειθοῦς ἦτε σῶμα, καὶ ἀκμήν,
Πιερινῶν ὀάρων φθέγμα τε Καλλιόπης.
χαῖρε σοί, ὦ μνηστὴρ φίλε, ὦ πολυγράμματε χαῖρε,
τέρπεο θεσπεσίῳ τέρπεο γαμβρὲ γάμῳ.
οὔτε μεγαπρεπέων, πέλετ' ἐκγεγαυῖα, τοκήων,
παρθενικὴ θαλάμοις ὑμνεῦσα τεῷ.
Αἰδομένη μήτηρ, φρονέουσα δέ, ἀσόκεν ἔρπε,
τῶν δὲ πατὴρ γεραρῶν νῦν μέγα ἐστὶ κλέος.
τίς τὸ Στεφκάρδων γένος οὐ πολύκλειτον ἀείδει;
ἄξιον αἰνέσθαι τίς ἢ μὴν αὐδῶ ἔμεν;
ἀσόκεν εὐθάλλοι χαρίτων τέμενος πολυειδῶν,
καὶ τῶν Πιερίδων ὑψικάρηνον ὄρος.
Αἰὲν ἐπαινήσει γεραρῶν σε Στεάκερ ἄριστε,
ἀντ' εὐεργεσίης ἡδυγελῶσα χάρις.
Ἀλλὰ τοί, ὡς μάγνησσα σιδήρεον ὁλκὸν ἀνέλκει,
ὡς, σέθεν Εὐτυχίην, ὦ λίθ', ὤνελκε γάμον.